*αὖθις ἐν θέρει τὸν γηγενῆ καὶ χερσαῖον ὑπὸ καύματος ποθοῦμεν, οὐκ αὐτὸν ὄντα ψυχρὸν ἀλλὰ τοῦ φύσει ψυχροῦ καὶ πρώτως ἀποβλαστάνοντα καὶ βεβαμμένον ὑπὸ τῆς ἐν τῇ γῇ δυνάμεως ὥσπερ βαφῇ σίδηρον. καὶ γὰρ τῶν ῥυτῶν ὑδάτων τὰ πετραῖα καὶ ὀρεινὰ ψυχρότατα καὶ τῶν φρεατιαίων τὰ κοιλότατα· τούτοις μὲν γὰρ οὐκέτι μίγνυται διὰ βάθους ἔξωθεν ὁ ἀήρ, ἐκεῖνα δ' ἐκπίπτει διὰ γῆς ἀμίκτου καὶ καθαρᾶς, ὡς περὶ τὸ Τιτάριον ὃ δὴ Στυγὸς ὕδωρ καλοῦσιν ἐκ πέτρας γλίσχρως συλλειβό-* D *μενον οὕτω ψυχρόν ἐστιν, ὥστε μηδὲν ἀγγεῖον ἄλλο μόνην δ' ὁπλὴν ὄνου στέγειν, τὰ δ' ἄλλα διακόπτει καὶ ῥήγνυσιν.*

21. *Ἔτι γε μὴν τῶν ἰατρῶν ἀκούομεν, ὡς πᾶσα γῆ τῷ γένει στύφειν καὶ ψύχειν πέφυκε· καὶ πολλὰ τῶν μεταλλευομένων καταριθμοῦσι στυπτικὴν αὐτοῖς παρέχοντα καὶ σχετικὴν εἰς τὰς φαρμακείας δύναμιν· καὶ γὰρ τὸ στοιχεῖον αὐτῆς οὐ τμητικὸν οὐδὲ κινητικὸν οὐδὲ † λεῖπον οὐδ' ἔχον ὀξύτητας οὐδὲ μαλθακὸν οὐδ' εὐπερίχυτον γέγονεν, ἀλλ' ἑδραῖον ὡς ὁ κύβος καὶ συνερειστικόν. ὅθεν*